**55**. *1337.*—Τοῦ Ἰουνίου μηνὸς εἰς τὴν κε΄ τῆς ἰνδ. ιε΄, ἔτους τρέχοντος ͵ςωμε ἐκοιμήθη ὁ ἅγιος ῥὴξ Φριδερίκος ἐν τῇ νήσῳ σικελικῇ (γρ. Σικελίᾳ). ὁ θεὸς ἀναπαύσῃ αὐτόν.

Ἐν φ. 198α τοῦ ὑπ' ἀρ. 162 κώδικος τῆς μονῆς τοῦ Σωτῆρος (S. Salvatore) νῦν ἐν τῇ πανεπιστημιακῇ βιβλιοθήκῃ τῆς Μεσσήνης (Studi italiani Τόμ. Ε΄ σ. 512).

**56**. *1337.*—Ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ Γεώργιος ὁ Ἀγαπητός· ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Γεράσιμος μοναχός· μηνὶ Μαΐῳ α$^{η}$ ἰνδικτιῶν ε$^{ης}$ ἔτους ͵ςωμε.

Ἐν φ. 216β τοῦ κώδικος 22 Reginae Sueciae τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ (*Stevenson* σ. 17). Ἴδε καὶ ἀρ. 57.

Ἰνδικτιὼν τοῦ ἔτους ͵ςωμε΄ εἶνε ἡ ε΄ καὶ οὐχὶ ἡ ιε΄.

**57** *1338.*—Ἐκοιμήθη ὁ δοῦλος τοῦ θεοῦ Νικήφορος (γρ. Νικηφόρος) ὁ Ἀμινσέλης· ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Νίφων μοναχός· μηνὶ Νοεμβρίῳ α$^{ην}$ ἰνδ. ς$^{ην}$ ἔτος ͵ςωμς΄.

Ἐν φ. 217α τοῦ κώδικος Reginae Sueciae τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ (*Stevenson* σ. 17). Ἴδε καὶ ἀρ. 56.

**58**. *1344.*—Γραφομένου μου τὸ πάρον βιβλίου (γρ. παρὸν βιβλίον) καὶ φθάσαντος ὧδε, γέγονεν συσμὸς ἐν Κωνσταντινουπόλει κατὰ τὸ ςωνβ΄ ἔτει, μηνὶ Ὀκτωβρίῳ ιδ΄, ἰνδ. ιβ΄.

Γραφομένου μου, κ.λ. ἐγένετο σισμὸς μέγας ἐν Κωνσταντινουπόλει κατὰ τὸ ͵ςωνβ΄ ἔτει, ἰνδ. ιβ΄, μηνὶ ὀκτωβρίῳ ιη΄· ἐπεκράτησεν δὲ ὁ σισμὸς ἄχρι ἡμερῶν ιβ΄ ζθθθπψλν (=Γαλακτίον).

Γραφομένου κ.λ. ἔτυχεν καὶ ἡ παραμονὴ τῆς θεοτόκου τῆς εἰσόδου, ἤγουν τὰ ἅγια τῶν ἁγίων, τῇ παραμονῇ τῆς εἰσόδου γράφοντός μου, κ.λ. γέγονεν συσμὸς μέγας.

Ἐν φ. 378α, 380β καὶ 426β τοῦ Βαροκκικοῦ κώδικος 197 τῆς ἐν Ὀξωνίῳ Βοδλειανῆς βιβλιοθήκης (*Coxe* σ. 351).

**59**. *1345.* — Ἡμέρᾳ Παρασκευῇ Μαρτίου μηνὸς τῆς ἐνισταμένης ἰνδίκτου ιγ΄· εἰς ιη΄ θαῦμα μέγα εὑρέθη ἐν τῷ οὐρανῷ ἤγουν ὅτι ἡ σελήνη ἔκρυπται καὶ οὐχ εὑρέθη ἵνα δώσει τὸ φέγγος αὐτῆς, καὶ τὰ ἄστρα ἐφαίνοντο. . ἔτει ἀπὸ κτίσεως κόσμου ͵ςωνγ΄.

*Rocchi* Codices Cryptenses σ. 7 ἀρ. Α. α. VII φ. 61β.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Επ. Γ.Δ. της Γ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

**60** *1346-1377.* — Ἔτους ,ςωνδ ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν καὶ ,ςωξε' ἀπὸ Χριστοῦ ατξε ἐπεῖραν τὴν Καλιούπολιν καὶ ,ςωζ ἀπὸ δὲ Χριστοῦ ατοζ ἐπῆραν τὴν Ἀνδριανούπολιν.

Ἐκδίδεται ἐνταῦθα τὸ πρῶτον ἐκ τοῦ φ. 5α τοῦ Σιναϊτικοῦ κώδικος 1189 κατ' ἀντίγραφον ἐπὶ διαφανοῦς χάρτου σταλέν μοι τῷ 1899 ὑπὸ τοῦ διδάκτορος κ. Παύλου Gleye.

**61** *1348-1389.* — Ἰστέον ὅτι κατὰ τὸ ,ςωνς' ἔτος ἐγεγόνει τὸ μέγα θανατικόν.

Ἐγένετο δὲ πάλιν θανατικὸν ἕτερον κατὰ τὸ ,ςωογ' ἔτος ὅτε καὶ μοῦρτον ἦν ἐν τῇ Κρήτῃ.

Εἶτα πάλιν ἐγένετο θανατικὸν ἄλλο κατὰ τὸ ,ςωπδ' ἔτος.

Ἕπονται χειρὶ νεωτέρᾳ·

Ἐγένετο θανατικὸν ἄλλο κατὰ τὸ ,ςϡϟζ' ἔτος. Ἐγένετο καὶ ἄλλο θανατικὸν μεγίστον (γρ. μέγιστον) κατὰ τὸ ϡς' ἔτος ἐν μηνὶ Ἀπριλλίῳ ἀρξάμενον.

In calce τοῦ Βαροκκικοῦ κώδικος 69 τῆς ἐν Ὀξωνίῳ Βοδληιανῆς βιβλιοθήκης. Ἴδε καὶ κατωτέρω ἀρ. 85.

**62** *1349.* — Εἰς τοὺς ,ςωνζ' χρόνους ἐκημύθησαν οἱ παῖδες τοῦ δούλου τοῦ θεοῦ Ἰω τοῦ βιστιαρίτι· καὶ τῆς συμβίου αὐτοῦ Εὐδωκήας τῆς Ἀτούμησας· οὗ τὰ ὀνόματα τῶν κεκοιμιμενόν· Λεόν ὁ Σέργιος· Μιχαὴλ ὁ Ἀτούμης· Γεώργιος ὁ Σιναλερίμ (γρ. Σεναχηρίμ)· Ἐλένη ἡ Ωγωθέτενα (γρ. ἡ Λογοθέταινα)· Ἀννὰ ἡ Κερουλήνα Θεόδωρος ὁ Σζάσις· Λεὸν ὁ Σέργιος· Μιχὰηλ ὁ Ατούμις καὶ ει τας (γρ. εἴ τις), πιάσi τὸ βιβλίον ἐτούτο καὶ ἀναγνώσι το ὧλοι ας τους μακαρίζουν.

Ἐν τέλει τοῦ κώδικος 35 τῆς ἐν Λέσβῳ μονῆς τοῦ Λειμῶνος (Κεραμέως σ. 50).

**63**. *1352.* — Ἡμέρα β' εἰστήκει (γρ. εἰς τὰς κα' ἢ κη') τοῦ Μαΐου μηνὸς ἐγένετο πόλεμος ἐν τόπῳ λεγομένῳ Ψα^μμ μετὰ τῶν Οὐγγαράρων (γρ. Οὐγγαρέζων;) ἀναμεταξὺ Κουρπερτίνου καὶ τῆς Τούρρης καὶ ἔλαβον τὸ νίκος οἱ ἡμέτεροι ἔτει ,ςωξ'.

Ἐν cust. folio τοῦ Λαυρεντιακοῦ κώδικος 692 (Studi italiani Τόμ. Α' σ. 192). Διώρθωσα ἄνω τὸ παρανεγνωσμένον εἰστήκει εἰς εἰς τὰς κα' ἢ κη', ἐπειδὴ τῇ 21 ἢ 28 Μαΐου 1352 συμπίπτει πράγματι ἡμέρα Δευτέρα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΡΓ. Α της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

**64.** *1355.* — Τῇ κδ´ τοῦ Νοεμβρίου μηνὸς τῆς η´ ἰνδ. ἡμέρᾳ Σαββάτῳ εἰςῆλθεν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς ὁ ἅγιος ὁ κύριος Ἰω ὁ Παλαιολόγος εἰς τὴν Κωνσταντινούπολιν καὶ ἀπεκαθείλωσε τὸν πενθερὸν αὐτοῦ βασιλέα τὸν Κανταχουζηνόν, βασιλεύσαντα μετὰ τὸ εἰςελθεῖν εἰς τὴν Κωνσταντινούπολιν ἔτη ζ´. μῆνας θ´ ἡμέρας κδ´ ἐγένετο δὲ μοναχὸς τῇ ι´ τοῦ Δεκεμβρίου μηνός. Ἐπατριάρχευσε δὲ ὁ Κομνηνὸς χρόνον α´. ἡμέρας ε´.

In summo margine secundae paginae τοῦ Plut. LXXXV cod. VI τῆς Λαυρεντιακῆς βιβλιοθήκης (*Bandini* Τόμ. Γ´ σ. 251).

**65.** *1360.* — Ἦλθεν ὁ μητροπολίτης κδ̄ τοῦ Ἀπριλλίου μηνὸς ἡμέρα Παρασκευὴ ὥρα πρώτη τῆς νυκτὸς ἔτους ,ςωξη´ ἰνδ. ιγ´.

Ἐν φ. 330β τοῦ κώδικος 8 Conventi Soppressi τῆς Λαυρεντιακῆς βιβλιοθήκης (Studi Italiani Τόμ. Α´ σ. 135).

Οὔτε ἡ ἰνδικτιὼν οὔτε ἡ ἡμέρα τῆς ἑβδομάδος συμπίπτει πρὸς τὸ ἔτος ,ςωξη´

**66.** *1360.* — Ἡ παροῦσα βίβλος ἐγράφη παρὰ Ἰακώβου μοναχοῦ διὰ καταβολῆς καὶ ἐξόδου Εἰρηναρχίας μοναχῆς. . . ἐν ἔτει ἑξακιςχιλιοστῷ τελειωθεῖσα, ὀκτακοσιοςῷ ἑξηκοςῷ ὀγδόῳ· ἰνδικτιῶνι τεσσαρεςκαιδεκάτῃ, μηνὶ Ἰουλλίῳ ε´ καὶ ι´. ἐν ᾧ μηνὶ δὴ γέγονε καὶ ἡ ἅλωσις τῆς μεγάλης πόλεως Ἡρακλείας τῆς εἰς τὸν Πόντον ὑπὸ τῶν Μουσουλμάνων, ἐπὶ τῆς βασιλείας Ἰωάννου τοῦ Παλαιολόγου:..

Ἐν φ. 463β τῆς ἐν Χάλκῃ μονῆς τῆς Θεοτόκου ἐκ τῆς μονῆς τοῦ Προδρόμου (Κεραμέως Ἡ ἐν τῷ νησίῳ Σωζοπόλεως βασιλικὴ μονὴ Ἰωάννου τοῦ Προδρόμου. Χωριατοῦ τεύχους σ. 10).

**67.** *1361.* — † Ἡμέρα Τετράδι τῆς ἀνάληψεως (γρ. Ἀναλήψεως) ε´ τοῦ Μαΐου μηνός, ὥρα ς´· ἐγένετο σκοτισμὸς· ἐν τῷ ἡλήῳ· ἐν τῷ ἔτει· τῆς ιδ´ ἰνδ. ἔτει ,ςωξθ.

Ἐν φ. 64α τοῦ Ὀττοβονιανοῦ κώδικος 210 τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ (*Feron-Battaglini* σ. 123). Ἴδε καὶ κατωτέρω ἀρ. 68.

**68.** *1361.* — † ἡμέρα Τετράδι τῆς Ἀναλήψεως, ε̄, τοῦ Μαΐου μηνὸς ὥρα ς̄ ἐγένετο σκοτισμὸς ἐν τῷ ἡλίῳ· ἐν τῷ ἔτει τῆς ιδ ἰνδι-

οι
κτιῶνος ἔτει ,ςωξθ.

Ἐν φ. 42α τοῦ κώδηκος P 75 sup. τῆς Ἀμβροσιακῆς βιβλιοθήκης (*Martini-Bassi* σ. 714). Ἴδε καὶ ἀνωτέρω ἀρ. 68.

**69.** *1362.*—Μηνὶ Ἰουνίῳ κθ΄ ἡμέρᾳ Παρασκευῇ τὸ γενέσεως (γρ. γενέσιον) τοῦ ἁγίου καὶ ἐνδόξου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ὥρᾳ θ΄ τῆς ἡμέρας ἐκοιμήθη (γρ. ἐκοιμήθη) ἡ δούλη τοῦ θεοῦ Μαρία ἡ Μακρυδούκενα, ἡ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεῖσα Μάρθα, μοναχή, ἔτους ,ϛωο΄.

In calce φ. 5α τοῦ Βαροκκικοῦ κώδικος 122 τῆς ἐν Ὀξωνίῳ Βοδληιανῆς βιβλιοθήκης (*Coxe* σ. 200).

**70.** *1371.*

Ὁ Ἰωάννης Γλαβᾶς ἔγεινε μοναχὸς τῷ ,ϛωπγ΄ ἰνδικτιῶνος ιγ΄, καθ᾽ ἃ σημειοῦται ἐν τῷ Σιναϊτικῷ κώδικι 819 φ. 1 (*Gardthausen* σ. 188).

**71.** *1376-1387.*—Αἱ ἐκλείψεις· ἔτους ,ϛωπδ΄ ιζ Ἰουλίου ἔκλειψις—μετὰ τὴν ε΄ Δεκεμβρίου τοῦ ϟε΄ (manus recentior addidit) [τ]ῷ ϛωπε΄ ἔτει ἔκλειψις ἡλίου—καὶ Ἀπριλλίου κθ΄ ὥρα δ΄ ἔκλειψις σελήνης.

Ἐν τῷ Λαυρεντιακῷ Plut. XXVIII cod. XIV φ. 33α. Ἴδε *Olivieri* Catalogus codicum astrologorum graecorum. Codices Florentini Τόμ. Α΄ σ. 23.

**72.** *1379-1425.*—Ἐκοιμήθη ὁ βασιλεὺς κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος, τῷ ,ϛ[ωπζ΄] μὴν Ἰούνιος κη· καὶ ἐτάφη εἰς τὴν μονὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Παντοκράτορος :—

Ἐκοιμήθη ὁ εὐσεβέστατος βασιλεὺς κῦρ Μανουὴλ ὁ Παλαιολόγος, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος, μετονομασθεὶς Ματθαῖος μοναχός· μὴν Ἰούλιος κα· ἡμέρα Σαββάτῳ ἰνδικτιῶνος γ^{ης} τοῦ ,ϛϡλγ ἔτους :—

Ἀντέγραψ᾽ αὐτὸς ἐκ φωτογραφίας τοῦ φ. 234β τοῦ κώδικος Ἐσκουριάλου Y-I-4. Ὁ *Miller* σ. 184 ἁπλῶς σημειόνει· On trouve l'indication de quelques faits chronologiques.

**73.** *1374.*—† Κατὰ τὸ ,ϛωπβ^{ον} ἔτος ἐν μηνὶ Αὐγούστου ϛ οὔπω τῆς ἡμέρας λαμψάσης ἀλλ᾽ ἔτι μετρίως τοῦ σκότους ἐπικρατοῦντος ὥςπέρ τι νέφος ὀλέθριον μετὰ γνόφου καὶ θυέλης τυφωνικῆς ἐν Μιτυλήνῃ ἐξ Ἀσίας ἐρχόμενον ὃ προςπεσὸν τῇ ἀκροπόλει πᾶσαν θᾶττον ἢ λόγος ἀνέτρεψεν καὶ πάντας τοὺς ταύτῃ οἰκοῦντας συγχωσθέντας ἀπέκτεινε, ἡγεμόνας φημὶ καὶ δεσπότας τῆς πόλεως πλὴν ἑνὸς καὶ

τὴν θεραπείαν αὐτῶν· εἶτα ἐπεγένοντο φρικώδεις σεισμοὶ καὶ συνεχεῖς ὧν καὶ ἡ λοιπὴ κατέπεσε πόλις καὶ πλείστους τῶν πολιτῶν συνέχωσεν.

Μονῆς Ἁγίας Ἄνδρου κώδ. 88 ἐν τῷ τελευταίῳ παραφύλλῳ (Λάμπρος ἐν Ἐπετ. Παρνασσοῦ Ἔτ. Β' σ. 220. Χωριστοῦ τεύχους σ. 87).

Πρόκειται περὶ τοῦ τυράννης καὶ τοῦ σεισμοῦ ἐξ οὗ καὶ ὁ θάνατος τοῦ Φραγκίσκου Γατελούζου. Ἴδε Νέον Ἑλληνομνήμονα Τόμ. Γ' σ. 39 κ. ἑ.

**74**. *1383*.—Ἔτος ͵ϛωϞϑ' ἰνδικτιῶνος ιδ', μηνὶ Ἰουλίῳ κζ', ἡμέρᾳ Πέμπτῃ, ἐν ᾗ καὶ ὁ πανιερώτατος μητροπολίτης Πενταπόλεως, καὶ ὑπέρτιμος κύριος Ναθαναὴλ εὐδοκίᾳ θεοῦ πρὸς τὴν ἐκκλησίαν αὐτοῦ ἐξεπορεύετο.

Ἐν τῷ κώδικι ΜΘ' τῆς βιβλιοθήκης Πάτμου (Σακκελίωνος σ. 39).

**75**. *1383*.—Ἐπαρέλαβαν οἱ Τούρκοι τα Σέρες ἐν ἔτει ͵ϛωϞβ' μηνὶ Σεπτεμβρίῳ ιθ'.

Ἁγιορειτικοῦ κώδικος τῆς μονῆς Δοχειαρίου 195 (Λάμπρου Τόμ. Α' σ. 257).

**76**. *1385*.— Μηνὶ Αὐγούστῳ εἰς τὴν κζ' τῆς ἰνδ. η' ἔτει σαρκώσεως ατπδ ἦλθεν ὁ ἅγιος πάπας Οὐρβάνου ἔκτος ἐν τῇ πόλει Μεσσήνης καὶ κατέκεν εἰς τὴν μεγάλην μονὴν τοῦ Σωτῆρος τοῦ ἀκρωτηρίου καὶ ἔδωκε δουλουτζεντζηα καὶ ἐμοὶ τῷ ἁμαρτωλῷ ἔδωκε χάριν.

Ἐν φ. 196β τοῦ ὑπ' ἀρ. 102 κώδικος τῆς μονῆς τοῦ Σωτῆρος (S. Salvatore) νῦν ἐν τῇ πανεπιστημιακῇ βιβλιοθήκῃ τῆς Μεσσήνης (Studi italiani Τόμ. Ε' σ. 513).

Ἰνδικτιὼν τῷ 1384 ἦτο ἡ ζ' καὶ οὐχὶ ἡ η'.

**77**. *1385*.—Ἐν ἀρχῇ ἐσκωτώθην αὐθέντης ἡμέτερος Πάλσας ὑπὸ τῶν Ἀγαρηνῶν ἐθνῶν μηνὸς Σεπτεμβρίου ιη' ἡμέρα β' ἔτους ͵ϛωϞδ'.

Ἐν κώδ. Collegii B. Mariae Magdalenae Ὀξωνίου ἀρ. IX (*Coxe* σ. 5). Πρβλ. *Westenii* Prolegomena σ. 51. Ἴδε καὶ κατωτέρω ἀρ. 78.

**78**. *1385*.— Ἐτελεύτησεν ὁ πᾶς ὑψηλότατος (γρ. πανυψηλότατος) αὔγουστος καὶ κων. καὶ δοὺξ Δηραχαοῦ (γρ. Δυρραχίου) μλαλ...... (γρ. Μπάλσας) ὑπω τον ἀθέων καὶ λαρ... (γρ. Ἀγαρηνῶν) μηνὶ Σεπτεμβρίῳ... ιμ' ἰνδ. β' (= ιη' ἡμέρα β') ἐπὶ ἔτους ͵ϛωζδ' (γρ. ͵ϛωϞδ').

Ἐν κώδ. Collegii B. Mariae Magdalenae Ὀξωνίου ἀρ. XVI, *Coxe* σ. 9).
Ἴδε καὶ ἀνωτέρω ἀρ. 77.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ — Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

**79.** *1386.* — Ἐγράφη ἡ παροῦσα βίβλος τοῦ Μετεώρου διὰ συνδρομῆς καὶ ἐξόδου βασιλέως τοῦ ὡς ἀληθῶς ἐν μοναχοῖς ὁσιωτάτου κυροῦ Ἰωάσαφ· διὰ χειρὸς χαρτοφύλακος τῆς ἁγιωτάτης ἐπισκοπῆς Τρικκάλων ἱερέως Θωμᾶ τοῦ Ξηροῦ· ἐπὶ ἔτους ͵ςωϞδ' ἰνδικτιῶνος θ· ὁπόταν ζῇ τοῦ θεοῦ παραχωρήσει καὶ οἱ Ἀγαρινοὶ οὐ μόνον τῆς πόλεως Βεροίας ἀλλὰ καὶ παρὰ μικρὸν τῆς ὑψηλίου γεγόνασι κύριοι.

Ἐν φ. 192β τοῦ ὑπ' ἀρ. 555 Πραξαποστόλου τοῦ Μετεώρου. Ἀντέγραψ' αὐτὸς ἐκ πανομοιοτύπου, ὅπερ ἐξέδωκε Ν. Βέης ἐν Εἰκονογραφημένῃ Ἑστ. Ϟ' Ἰούλιος 1910 ἀρ. 69 σ. 131.

**80.** *1386.* — Ἐν μηνὶ Σεπτεμβ. ιβ δίμματα ἡλίου (=δύματα ἡλίου) ἐκοιμήθη ἡ δούλη τοῦ θεοῦ Μαρία ἡ κόρι τοῦ μακαρίτου Πέτρου τοῦ Ἀκ... στου καὶ ἱ ἀναγινώσκοντες μακαρίσατε αὐτὴν κατὰ ἔτους ͵ατπς' τοῦ Χριστοῦ.

Ἐν τῷ κώδικι 465 τῆς βιβλιοθήκης τοῦ Μονάχου (*Hardt* Τόμ. Δ' σ. 441).

**81.** *1386.* — Ἐκοιμήθη ὁ διδάσκαλος ἡμῶν κῦρ Ἀσάνης ἐν τῇ Εὐρίπῳ μηνὶ Ἰουνίῳ εἰς τὰς κ ἰνδικτιῶνος ἐννάτης ͵ςωϞδ'· ὃν κύριος ὁ θεὸς κατατάξει τὸ πνεῦμα αὐτοῦ μετὰ τῶν δικαίων.

Ἐν φ. 202β τοῦ κώδικος 303 San Marco τῆς Λαυρεντιακῆς βιβλιοθήκης (Studi italiani Τόμ. Λ' σ. 180). Ἀντέβαλον αὐτός. Πρβλ. *Miller* Mélanges de littérature grecque σ. 1. Ἴδε καὶ τὸ ἐν τῷ προφύλλῳ πρὸ τοῦ φ. 1 σημείωμα Ἐπράθη ἐν τῇ Εὐρίπῳ διὰ διδασκάλου κυροῦ Ἀσ... ώτου τούτου....

**81α.** *1387.* — Ἴδε ἀνωτέρω ἀρ. 71.

**82.** *1389.* — Τῷ ͵ςωϞζ ἔτει ἰνδικτιόνος ιβ' μηνὶ Μαρτίῳ κη ἡμέρᾳ Σαββάτῳ ὥρα ὀδόη (γρ. ὀγδόη) τῆς ἡμέρας ἡλίου κύκλος θ. σελήνης κύκλος ιθ'. ἐγένετο σεισμὸς φοβερὸς ἐν τῇ νήσῳ Χίῳ· ὥστε χαλασθῆναι τὸ πλεῖστον μέρος τοῦ κάστρου καὶ καταπέσαι καὶ ἐκ τῶν μεγάλων οἰκιῶν τοῦ κάστρου καὶ καταρραγῆναι καὶ θραυσθῆναι τὰ οἰκήματα τὰ πλεῖστα αὐτοῦ. Ἐχάλασε δὲ καὶ τῆς μητροπόλεως τὸ βόρειον μέρος τὸ πλησίον τοῦ βήματος καὶ ἐπέπεσεν (Ottob. ἔπεσεν) ἐπὶ τῷ πλησίον αὐτοῦ (Ottob. αὐτῆς) οἴκῳ, ἐν ᾧ συνέβη γυναῖκα τινὰ εὑρεθῆναι ἐν αὐτῷ καὶ ἀποθανεῖν ἀπέθανε τε καὶ ἄλλη τίς

γυνὴ Ἑβραία ἐν τῷ αὐτῷ σεισμῷ. ἔπεσον δὲ καὶ ἐκτὸς τοῦ κάστρου οἰκίαι πολλαὶ αἱ πλησιάζουσαι μᾶλλον τοῦ αἰγιαλοῦ τοῦ καλουμένου Νέου χωρίου· ἐχάλασεν ὁ ἅγιος Νικόλαος ὁ Θαλασσίτης, καὶ τὸ βῆμα τοῦ Σωτῆρος Χριστοῦ, καὶ τὸ βῆμα τοῦ ἁγίου Ἰσιδώρου τοῦ Τζικαλίου, καὶ τὸ ἐξωνάρθηκον τοῦ Ἁγίου Νικολάου τοῦ Βασιλικάρη· διερράγησε δὲ καὶ κατεθραύσθη καὶ ὁ θόλος τοῦ Ἁγίου Γαλακτίωνος, καὶ ἄλλων πολλῶν ἐκκλησιῶν· ἀλλὰ δὴ καὶ τὸ βόρειον μέρος τῆς τρούλλας τοῦ μεγάλου Ἰσιδώρου· συνέβη δὲ ἐν ταὐτῷ φυράσαι τὴν θάλασσαν ἄχρι τοῦ ἐντὸς ἀνεμομύλου τῆς θαλάσσης ἔπειτα ἐπαναστραφῆναι καὶ τῶν οἰκείων ὅρων αὐτῆς ἐξελθεῖν ἕως τῆς ἡμίσεως πλάτζας τοῦ Ἐμπορίου, ὥστε φοβηθῆναι τοὺς ἀνθρώπους φεύγειν καὶ ἐπανέρχεσθαι ἄχρι τῆς Τρουλλωτῆς. Ἐχάλασε δὲ καὶ ἡ Σμύρνη καὶ ὁ κουλᾶς τῆς Φωκέας τῆς νέας, ἀλλὰ δὴ καὶ ἡ Χαρία τέλεον. Οὕτινος φοβεροῦ σεισμοῦ γεγονότος, μετὰ φιλανθρωπίας παρ' ἐλπίδα ἐλυτρώσατο ἡμᾶς ὁ οἰκτίρμων καὶ ἐλεήμων θεός. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

Ἀντέγραψ' αὐτὸς ἐξ ἀντιγράφου τοῦ Ἀλλατίου ἐν τῷ Ἀλλατιανῷ κώδικι CXVI τῆς ἐν Ῥώμῃ βιβλιοθήκης Vallicelliana ὑπ' ἀρ. 31 (Νέου Ἑλληνομνήμονος Τόμ. Ε' σ. 338 κ. ἑ.) Εἶνε δ' εἰλημμένον ἐκ τοῦ Ὀττοβονιανοῦ κώδικος 381 τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ (*Feron - Battaglini* σ. 195).

**83.** *1389.* — Ἔτος 6897 μηνὸς Μαρτίου· 20 / ἡμέρα Σαβατῶ ὥρα 8 / ἐπη τῆς βασιλιας τοῦ εὐσεβεστάτου βασιλέως Ἰωάννου ἐγένετο καὶ ο μέγας σεισμός ὅτε κατέπεσον τὰ τείχη τῆς Χίου καὶ οἶκοι καὶ ναοὶ πολλοὶ διέρράγισαν καὶ κατέπεσον καὶ ἡ θάλασσα ἀναβράσασα καὶ ἐξῆλθεν ἕνως (γρ. ἕως) τὸ ἥμισι τοῦ φόρου καὶ αὖ ἀπεστράφη ἶν τῷ ἰδίῳ τόπῳ αυτῆς.

Πανόρμου κώδ. II. Δ. 26 φ. 34α (*Martini* Τόμ. Α' σ. 81).

**84.** *1389 - 1390.* — Τὸ [,ςω]πζ' ἠρξάμεθα κτίζειν τὴν ἐκκλησίαν τῆς Βαιονέας μηνὶ Μαΐῳ θ' ἡμέρᾳ Παρασκευῇ. Ἰστέον ὅτι τῷ ,ςωξη' (γρ. ,ςωϟη') ἔτει ἐγένετο ἔκλειψις μεγάλη τοῦ ἡλίου ἐπὶ ε' τοῦ Μαΐου μηνός, ὥρᾳ τρίτῃ τῆς ἡμέρας, ἐν ᾗ ἐφάνησαν πάντες οἱ ἀστέρες τοῦ οὐρανοῦ.

In calce τοῦ Βαροκκιανοῦ κώδικος 69 τῆς ἐν Ὀξωνίῳ Βοδληιανῆς βιβλιοθήκης (*Coxe* σ. 111) ἐν συνεχείᾳ τῶν ἀνωτέρω ὑπ' ἀρ. 63, ἐξ ὧν γίνεται δῆλον, ὅτι τὰ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ε.Ν.Φ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σημειώματα ταῦτα ἀναφέρονται εἰς τὴν Κρήτην. Σημειωτέον, ὅτι λίαν ἀμφίβολον, ἂν ἔχῃ ὀρθῶς ἡ χρονολογία ,ϛωξη΄ ἑπομένη τῇ ,ϛωϟζ΄. Παρατηρητέον δὲ καὶ ὅτι κατὰ τὸ ἔτος ,ϛωϟζ΄ ἡ 9 Μαΐου συνέπιπτε Κυριακὴν καὶ οὐχὶ Πέμπτην.

**85**. *1389-1390*. — † Ἔτους ,ϛ ω ϟ ζ· μηνὶ Μαρτίῳ ἰνδικτιῶνος ιδ· ἡμέρα Πέμπτη πρωὶ ἦν δὲ τοῦ μεγάλου κανόνος, ἐκοιμήθη ἡ δούλη τοῦ θεοῦ Εὐπραξία μοναχὴ ἡ μήτηρ τοῦ αὐθέντου μου τοῦ πατρός μου:.

† Ἔτους ,ϛ ω ϟ η: μηνὶ Ἰαννουαρίῳ· ἰνδ. ιγ ἡμέρα Κυριακὴ ἑσπέρα· ἦν δὲ ἐν ταύτῃ τῇ Κυριακῇ ἑορτῇ τῆς τιμίας ἀλύσεως του ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ Σίμωνος, τοῦ Πέτρου, ἐκοιμήθη ὁ δοῦλος τοῦ θεοῦ Σίμων μοναχὸς ὁ πατὴρ τῆς κυρίας ἡμῶν μήτρός.

Ἐν φ. 86β τοῦ κώδικος E 34 sup. τῆς Ἀμβροσιακῆς βιβλιοθήκης (*Martini-Bassi* σ. 312).

**86** *1391*. — Ἔτους ,ϛωϟθ΄ ἰνδ. ΙΔ΄ ☉ος ια΄ ☾της ☉ος β΄ νομικὸν φάσκα, Μαρτίου κβ΄ Χριστιανῶν Πάσχα Μαρτίου κϛ΄: ἐν αὐτῷ τῷ ἔτει, ἑάλω παρὰ τῶν ἀπίστων ἐθνῶν ἡ χριστώνυμος πόλις καὶ κατεδαφίστη ἐκ βάθρων εἰς τάχος καὶ οἱ οἰκήτορες ταύτης διεσκορπίσθησαν ἐν διαφόροις τόποις καὶ χώρες· γέγονε δὲ τοῦτο τὸ ὀλέθριον κακόν, διά τινων οἰκητόρων τῆς δε τῆς πόλεως· τοσαύτη δὲ γέγονεν ἡ φθορὰ καὶ ἡ κατάλυσις τῶν ἐνοικούντων τούτων Χριστιανῶν ὡς ἔγωγε οἶμαι, οἷα γέγονεν ἔκπαλαι ἐπὶ Ναβουχοδονόσωρ ἐν τῇ Ἱερουσαλὴμ πόλει.

Ἁγιορειτικῆς μονῆς Παντελεήμονος κώδ. 701 φ. 498β (Λάμπρου Τόμ. Β΄ σ. 418).
Ἔπεται τὸ κατωτέρω ὑπ᾽ ἀρ. 95.

**87**. *1392*.

Δηλοῦται ἁπλῶς ὡς ὑπάρχον σημείωμα τοῦ ἔτους τούτου ἐν τῷ κώδικι τῆς δημοτικῆς βιβλιοθήκης Λειψίας Rep. I. 66 (*Zachariae v. Lingenthal* Procheiron σ. VI).

**88**. *1393-1439*. — Ἔτει ,ϛψϟη (κώδ. ,ϛχνα )

Μανουὴλ ὁ Παλαιολόγος ὁ καὶ σοφώτατος, οὗ ἐπὶ τῶν ἡμερῶν ἦν ὁ πατριάρχης Ἰωσὴφ καὶ ὁ Βρυέννιος Ἰωσήφ, βασιλεύσας ἔτη λε΄, κατέλειπε τὴν βασιλείαν· ἐστέφθη δὲ ὁ υἱὸς αὐτοῦ Ἰωάννης ὁ Παλαιολόγος, ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας, ὑπὸ τοῦ πατριάρχου Ἰωσήφ· ἐν ἔτει ,ϛπκθ (κώδ. ,ϛωκθ) ἰνδικτιῶνος ιδ ἡμέρα Κυριακῇ τοῦ Ἀσω-

του· ἐκοιμήθη δὲ Μανουὴλ ὁ βασιλεὺς μοναχὸς γεγονὼς καὶ μετονομασθεὶς Ματθαῖος· ἐν ἔτει ͵ϛϡλδ´ Ἰουλλίου ια, ἰνδικτιῶνος δης: ὁ δὲ Ἰωάννης ὁ βασιλεὺς ἐν ἔτει νέῳ ͵ϛϡλθ ὑπέγραψε τῇ κατ' οἰκονομίαν δῆθεν ψευδεπιπλάστῳ ἑνώσει, τῇ γεγονυίᾳ μεταξὺ Γραικῶν καὶ Λατίνων ἐν Φλορεντίᾳ, ἣν οἱ Λατῖνοι ψευδῶς ὀγδόην ὀνομάζουσι, καὶ ταῦτα μὴ παρόντος τοῦ Κωνσταντινουπόλεως, ὡς προτεθνηκότος·

Ἀντέγραψ' αὐτὸς ἐκ τοῦ φ. Αα τοῦ ὑπ' ἀρ. 127 κώδικος τῆς Βιβλιοθήκης τῆς Βουλῆς ἐν Ἀθήναις (Νέου Ἑλληνομνήμονος Τόμ. Ε´ σ. 311). Αἱ χρονολογίαι εἶνε λελανθασμέναι πλὴν τῆς τελευταίας.

**89**. *1457*.— Πληρουμένου τοῦ τρίτου ἔτους τοῦ πάπα Ἠντζενσίου ἔχωμεν ἐν τῇ Ῥώμῃ χρόνους κα.

Σημείωμα Δημητρίου (Καβάκη) Ἕλληνος τοῦ Λακεδαιμονίου ἐν τῷ Valicanus graecus 1359 φ. 191β. Ἴδε Νέον Ἑλληνομνήμονα Τόμ. Δ´ σ. 332. Πρβλ. *Martini* Τόμ. Α´ σ. 199.

**90**. *1400*. — Ἐγένετο σεισμὸς μέγας ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβεστάτου βασιλέως κυρίου Μανουήλ, υἱοῦ Ἰωάννου τοῦ Παλαιολόγου ἐπὶ ἔτους ͵ϛϡη´, μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνι η´..

Ἐν φ. 222β τοῦ κώδικος Theologicus graecus CCXL (Lambecius=Nessel CV) τῆς ἐν Βιέννῃ αὐτοκρατορικῆς βιβλιοθήκης (**Lambecius-Kollar** σ. 216.— **Nessel** σ. 186).

**91**. *1400*. — Ἔτους ͵ϛϡθ´ ἰνδικτιῶνος θ´ μηνὶ Νοεμβρίῳ ἦλθεν ὁ κατάρατος ὁ [Τα]μουρλέγγις καὶ ἐκατέλαβεν τὸ Χαλέπη ἕως τοῦ Χαμᾶ.

Κωδ. πρώην Λαύρας Σάβα τοῦ ἡγιασμένου 208, φ. 155, νῦν ἐν τῇ Πατριαρχικῇ βιβλιοθήκῃ Ἱεροσολύμων (Κεραμέως Τόμ. Β´ σ. 320).

**92**. *1400*.— Ἐν ἔτει ͵ϛϡη ἰνδικτιῶνος ιης μηνὶ Δεκεβρίῳ δ-η ἦλθεν ὁ μακαρίτης βασιλεὺς κύρης Ἰωάννης ὁ υἱὸς κυροῦ Ἀνδρονίκου τοῦ βασιλέως ἐν Κωνσταντινουπόλει εἰρηνικῶς· προγεγονότων ὅρκων μετα συμφωνιῶν· τῇ δεκάτῃ δὲ τοῦ αὐτοῦ Δεκεμβρίου, ἐξῆλθεν ὁ μακαρίτης βασιλεὺς κύρης Μανουήλ, ἀναβὰς εἰς τὰ κάτεργα τῶν Βε-

νετίκων· καὶ ἀπεδήμησεν εἰς τὴν Φραγγίαν· ἕνεκεν βοηθείας τῆς εἰρημένης Κωνσταντινουπόλεως καὶ τῶν ἀνατολικῶν μερῶν.

Ἀντέγραψ' αὐτὸς ἐκ τοῦ φ. Δδ τοῦ Παρισιακοῦ κώδικος 2622 (Νέου Ἑλληνομνήμονος Ϛ' σ. 483). Ἴδε καὶ ἀρ. 93, 94.

Πρὸς τὸ ἔτος ‚ϛϡη' συμπίπτει ἰνδικτιὼν η' καὶ σὺγἰ ι'.

**93**. *1400*.— Ἐν ἔτη ‚ϛϡη ἰνδικτιῶνος η^ης^, μηνὶ Δεκεμβρίῳ δ^η^. ἦλθεν ὁ βασιλεὺς κῦρ Ἰωάννης ὁ υἱὸς κῦρ Ἀνδρονίκου τοῦ βασιλέως ἐν Κωνσταντινουπόλει εἰρηνικῶς· προγεγονότων ὅρκων μετὰ συμφωνιῶν· τῇ δεκάτῃ δὲ τοῦ αὐτοῦ Δεκεμβρίου, ἐξῆλθεν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς κῦρ Μανουήλ, ἀναβὰς εἰς τὰ κάτεργα τῶν Βενετίκων, καὶ ἀπεδήμησεν εἰς τὴν Φραγγίαν ἕνεκεν βοηθείας τῆς εἰρημένης Κωνσταντινουπόλεως καὶ τῶν ἀνατολικῶν μερῶν: †

Ἀντέγραψ' αὐτὸς ἐκ φ. 466α τοῦ Παρισιακοῦ κώδικος 1723 (Νέου Ἑλληνομνήμονος Τόμ. Ϛ' σ. 483). Ἴδε καὶ ἀρ. 92, 94.

**94**. *1400*. — † Ἔτος ϛϡη ἰνδ η' μηνὶ Δὲκαιβρίῳ δ ἦλθεν ὁ βασιλεὺς κῦρ Ἰωάννης ἐν Κωνστάντινουπόλει ηρινικῶς προγεγονότων ὅρκων μετὰ συμφωνιῶν: τῇ ι δὲ τοῦ αὐτοῦ Δεκεδρίου ἐξῆλθεν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς κῦρ Μανουὴλ, ἀνάβᾶς ης τὰ κάτεργα τῶν Βενετίκων καὶ ἀπέδήσεν ἠς τὴν Φραγγίαν ἕνεκεν βοηθήας τῆς εἰρημένης Κωνσταντινουπόλεως καὶ τῶν ἀνατολικῶν μερῶν :-

Ἀντέγραψ' αὐτὸς ἐκ φ. 360α τοῦ Μαρκιανοῦ κώδικος CCCLXXVI (Νέου Ἑλληνομνήμονος Τόμ. Ϛ' σ. 483). Ἴδε καὶ ἀρ. 92, 93.

**95**. *1402*. — Τῷ δὲ ‚ϛϡι' ἔτει κατήχθη ἐπὶ τὰ ἀνώτερα μέρη τῆς τῆς περσικῆς γῆς σατράπης [ὄνομα] τοῦτο Ταμερλάγγης καὶ διῆλθεν ληισάμενος πᾶσαν τὴν Ἕω Καπαδοκίαν τε καὶ Φρ[υγίαν], Ἀσίαν τε καὶ Βηθυνίαν, καὶ ἕως αὐτῆς τῆς Λαμψάκου· ὅτε, καὶ πόλεμον συνῆψαι μετὰ τοῦ... (ἐφθαρμένα) τῆς Ἀνατολῆς τοῦ Παγιαλήτου Ἀτουμάνου καὶ κατὰ κράτος ἐτροπώσατο τοῦτον ποιάσας... (ἐφθαρμένα) ἅμα γυναιξὶ καὶ τέκνοις.

Ἁγιοταφιτικοῦ κώδικος μονῆς Παντελεήμονος 701 φ. 4086 (Λάμπρου Τόμ. Β' σ. 418).

Ἔπεται εἰς τὸ ἀνωτέρω ὑπ' ἀριθ. 80.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε.Υ.Α. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

**96**. *1402.* — † Κατὰ τὸ ,ϛϡι΄ ἔτος ἐν μηνὶ Ἰουλίου κη΄ ἡμέρα ϛ Ταμερλῆς ὁ τῶν Περσῶν ἀρχηγὸς πολεμήσας μετὰ τοῦ Παγιαζίτου τοῦ τῶν Ἰσμαϊλητῶν δυνάστου ἀνατολῆς καὶ δύσεως τηνικαῦτα κρατοῦντος κατέλυσε πᾶσαν τὴν δυναστείαν αὐτοῦ ἐν τῷ πεδίῳ τῆς Ἀγκύρας· συνέσχε δὲ καὶ αὐτὸν σωματικῶς.

Μονῆς Ἁγίας Ἄνδρου κώδ. 88 ἐν τῷ τελευταίῳ παραφύλλῳ (Λάμπρος ἐν Ἐπετ. Παρνασσοῦ Ἔτ. Β΄ σ. 230. Χωριστοῦ τεύχους σ. 87).

**97**. *1402-1411.* — † Ἐν ετ(ει) ϛϡι΄. ἦλθεν ὁ Τεμὶρ χάνης· καὶ ἐπολέμισεν μετα τόω Παγηάζητ πεει ἠς την Ανγηραν. μηνὶ Ἡουλήο κη̄ ἡμέρα Παρασκεδι. καὶ ἐτζακισεν τον ολοκρατος. καὶ ἐπιασεν αυτον. καὶ ετεθνικεν. μετα ταῦτα ἐδασιλεῦσεν ηός αυτοῦ. ἐμῖρ σουλμαν πεεις. ἐν τη είμερα βασιλεδοντος. τοῦ εὐσεδεςστάτου. καὶ φηλοχρῖστου βασιλεος ημον, Μανουήλ. τοῦ Παλεολόγου :-

Μετα δε ετους ,ϛϡκη ἦλθεν ὁ αδελφὸς αυτου τοῦ εμῖρ Σουλμαν πεει. ο Μουσιπεεις ἀπο την Βλαχίαν, αφέντεδοντος βοῆδόδα τοῦ Μίρτζου. καὶ ἐτζακοσεν τον Σαρουτζὰ πασια ης τὴν Διανπολην· μινῆ Φευρουαρήω. ιγ ἡμερα Παρασκεδή. και ἐπρόςκῖνισαν τα καστρη τῆς Ρομανηας σιν τον τοπον ολον. Ἐλθὸν δε ὁ αδελφὸς του ο ἡμίρ Σουλμανης. επερασεν αυτόν βασιλευ Μανοῆλ ο Παλεολόγος, καὶ ἐπολεμισαν ης την Πολην. σπανο ῆς το Κοσμίδην μιν Ἡοσυνιω. ιε̄. ἡμερα Κιρηακῖ. και ετζακισεν τον Μοσίπεειν. καὶ εδιοξεν αυτον. σιναχθεὶς δε πάλην Μοσίπεεις μετα τον ἒξο Τοῦρκον. ἤλθεν ῆς τὴν Ανδριανοὺπόλην. καὶ επολεμῖσαν ἀναμεσον του Κρηδητζήου καὶ τὴν Διχαλῆν Το ... παν. μινὴ Ἡουλήο. ια ἡμερα Παρασκεδη. καὶ ἐτζακησεν τον παλην:- Κὲ ἐφηγ(εν) ης τον τοπον Ουλγαρ(ίας) τα μερη Βηδηνας. κάστρον ης τοπο Κολτζοῦ. προς τα μερη Σερδή(ας) καὶ εσιτάρχισεν αυτ(ὸν) κνεζης δεσποτης υος Λαζάρου.

ου

Μετα δε ἐτ (ϛϡ)ιθ ετους παλην ελθων Μουσίπεεις εἰς τὰ μερη Μακεδονίας κε καταδὰς ῆς την Διανπολ(ιν) ῆς βοῦνην τοὺς Βουρλονκοῦσ ἐπλημελη εν μετα τους Μουσούλμάνους. κε ἀπο καστρον ῆς αλον καστρον. ἄνθροπος τοῦ ἡμίρ Σουλμανπεει οὐδὲν εδιαδενεν· ακοῦσας δε ἡμίρ' Σουλμανπεεις ἐλθὸν μετα πλήθους τον στρατὸν κε αρχόντον. ῆς τὴν Ανδρηανοῦ πόλ(ιν). κε ἐκίνησεν μιραζιν οργαν πρός

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τα φουσατα οπος παλην διοκων αυτον. ἡμὶρ Σουλμαν ος πεσὼν ἧς τοῦς λεοτρους κε πινον κυ/ περησοῦς. γανέκτησας ἡ ἄρχοντες κε ἡ μεγηστανη έφηγαν τα φουσατα κε εκηνισαν φεῦγον πρὸς τον Μουσιπεει ακοῦσαι δὲ ἡμὶρ Σουλμανπεεις ἐδιλησεν, κε κινησας. ἡς εντροπιν φηγῖς ἐπιασαν αυτὸν. ἧς τα μερι τἱς Βρησις κε επνιξαν τον. εν μινι Φευρουαρηο ιζ ημερα Τρητη.

Κῶδ. 17 τῆς βιβλιοθήκης τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου τοῦ Παναγίου τάφου (Κεραμέως Τόμ. Δ΄ σ. 32 κ. ἑ.).

Ἐν ἀρχῇ τοῦ σημειώματος δὲν ἔχει ὀρθῶς ὅτι ἡ 28 Ἰουλίου 1402 ἦτο Παρασκευή· ὀρθὴ ἡμέρα τῆς ἑβδομάδος εἶνε τὸ Σάββατον, καθ' ἃ ἐν τῇ προηγουμένῃ ἐνθυμήσει.

Τὰ χρονικὰ ταῦτα σημειώματα μετεχειρίσθη ὡς πηγὰς ὁ κ. *N. Jorga* (Geschichte des osmanischen Reiches. Ἐν Γώθᾳ. 1908 σ. 321 σημ. 2, σ. 349 σημ. 2, σ. 350 σημ. 3, σ. 351 σημ. 2 καὶ 3, σ. 353 σημ. 1).

**98**. *1410.* — † Τῷ αὐτῷ ἔτει (ϛϡιη΄) καὶ ἰνδικτιῶνι [δ΄] Ἰουλλίῳ ιζ΄, ἐγένετο ὁ πόλεμος τῶν ἀσ[εβῶν] Ἀγαρηνῶν περὶ τὰ τείχη τῆς [Ἀνδριανουπόλεως] καὶ κατελύθησαν οἱ δύο ἀδελφοί, . . . καὶ Μωσῆς καὶ ἐφονεύθη πλῆθος πολύ. . . . ὁ Μἴσιρμαν.

Ἐν φ. 1α τοῦ κώδικος 310 τῆς ἐν Μακεδονίᾳ μονῆς Κοσινίτζης ἐν συνεχείᾳ τοῦ ὑπ' ἀρ. 99 (Κεραμέως Ἔκθεσις παλαιογρ. ἐρευνῶν σ. 30).

Τὰ ἐν ἀγκύλαις συνεπληρώθησαν ὑπ' ἐμοῦ, τῶν δὲ λοιπῶν κενῶν ἡ συμπλήρωσις δὲν δύναται νὰ γείνῃ ἀσφαλῶς.

**99**. *1410.* — † Ἐκοιμήθη ὁ πατριάρχης κὺρ Ματθαῖος μηνὶ Αὐγούστῳ ἡμέρᾳ Σαββάτῳ, ἔτους ,ϛϡιη΄, ἰνδικτιῶνος γ΄.

Ἐν φ. 1α τοῦ κώδικος 310 τῆς ἐν Μακεδονίᾳ μονῆς Κοσινίτζης (Κεραμέως Ἔκθεσις παλαιογρ. ἐρευνῶν σ. 30).

Προηγεῖται τοῦ ἀρ. 98.

**99α**. *1410.* — Ἴδε ἀνωτέρω ἀρ. 97.

**99β**. *1411.* — Ἴδε ἀνωτέρω ἀρ. 97.

**100**. *1415.* — Ἐν ἔτει ,ϛϡκγ ἰνδικτιῶνος η Μαρτίου κθ, ἡμέρα Παρασκευὴ μεγάλη ἦλθεν ὁ βασιλεὺς ὁ μακαρίτης κύριος Μανουὴλ ἐν τῷ λιμένι τῶν Κεχρεῶν, καὶ τῇ η΄ Απριλλιου ἤρξατο ἀνακαθαί-

ρειν καὶ ἀνοικοδομεῖν τὸ Ἑξαμίλιον ὅπερ ἔνι τὸ μῆκος (ἐκ τοῦ τὸ πρῶτον γραφέντος μῆκος) ὀργυιὰς Γω. ἀνέστησε δὲ πύργους ἐπ' αὐτῷ ρνγ'. Εὑρέθεισαν καὶ γράμματα ἐν μαρμάρῳ λαξευτὰ κατὰ τὸ μέρος τὸ ἐν τῇ Ἑλλάδι λέγοντα οὕτως· φῶς ἐκ φωτὸς θεὸς ἀληθηνὸς ἐκ θεοῦ ἀληθηνοῦ· φυλάξη τὸν αὐτοκράτορα Ἰουστινιανόν· καὶ τὸν πιστὸν αὐτοῦ δοῦλον Βικτορῖνον καὶ πάντας τοὺς ἐν τῇ Ἑλάδη οἰκοῦντας τοὺς ἐν θεῷ ζῶντας.

Ἀντέγραψ' αὐτὸς ἐκ φωτογραφίας τοῦ φ. 599β τοῦ Παρισιακοῦ κώδικος 2622 (Νέου Ἑλληνομνήμονος Τόμ. Β' σ. 449, ὅπου καὶ αἱ ἐκ τοῦ Παρισιακοῦ κώδικος 1278 διάφοροι γραφαί).

**101**. *1416*. — † Μετέστη πρὸς τὰς αἰωνίους μονὰς ἔνθα καὶ ζῶν εἶχε τὸ πολίτευμα, ὁ ἅγιος Εὐθύμιος πατριάρχης Κωνσταντινουπόλεως ὁ κατ' ἐξοχὴν μέγας, κατὰ τὴν κθ' τοῦ Μαρτίου μηνὸς τῆς θ' ἰνδικτ. τοῦ ͵ϛϡκδ ἔτους· ὅτι ἄγγελοι μὲν γήθησαν ἐν οὐρανῷ, τὴν θείαν ἰδόντες ἐκείνου ψυχήν· ἄνθρωποι δέ, μέγα ἐπένθησαν ἐπὶ τῆς γῆς τοῦ εἰρηνικοῦ καὶ πράου καὶ καλοῦ στερηθέντες ποιμένος καὶ διδασκάλου.

Ἐν φ. 59α τοῦ Ὀττοβονιανοῦ κώδικος 177 τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ (*Feron-Battaglini* σ. 100).

**102**. *1418*. — † ἔτους ͵ϛϡκϛ ἦλθα οἰκονόμο εἰς τῶ Σκεινούδην· οὗτον (γρ. ἦτον) δὲ κεφαλῆ ὁ Καντακουζινὸς καὶ ἤλαξεν αὐτὸν ὁ ἐπὶ τραπέζης καὶ τὸν ἐπιτραπέζην ὁ κῦρ Μανουὴλ ὁ Γουδέλης.

Ἐν φ. 84α τοῦ ἐκ Θεσσαλίας προερχομένου κώδικος F 130 sup. τῆς Ἀμβροσιανῆς βιβλιοθήκης (*Martini-Bassi* σ. 438).

**103**. *1419*. — Τέρμα ἔλαβεν ἤδ' ἡ σελὶς ἐν μηνὶ Μαΐῳ λα', ἐν ἔτει ͵ϛωκζω ἰνδ. ια', (γρ. ιβ') ὁπότ' ἂν καὶ ὁ ἄναρχος ἡμῶν καὶ ὑπεράγαθος θεός, μὴ φέρων ὁρᾶν τὰς πολλὰς ἡμῶν ἁμαρτίας, τὴν δικαίαν αὐτοῦ ὀργὴν καὶ μύνην (=μῆνιν) τὴν τοῦ θανατικοῦ, ἐν τῇ νήσῳ Κρήτης ἀνήγειρε· Ἐγράφη δὲ διὰ χειρὸς ἐμοῦ τοῦ λίαν τλήμονος καὶ ἐλαχίστου, Ἰωάννου τοῦ Χιονοπούλου.

Εἴληφεν ἤδ' ἡ βίβλος τέρμα, ἐν μηνὶ Ἰουλλίῳ, ιαη. ἐν ἔτει ͵ϛωωκωζ

ἰνδ. δ^ης (γρ. ιδ^ης), ἔτι κρατοῦντος τοῦ λοιμοῦ ἐν τῷ Χάνδακι Κρήτης.

Τὸ μὲν πρῶτον σημείωμα «ὑπὸ τὴν πίζαν τοῦ α΄ μηναίου», τὸ δὲ δεύτερον «ὑπὸ τὴν πίζαν τοῦ δ΄ μηναίου» τοῦ κώδικος 10 τῆς ἐν Λέσβῳ μονῆς τοῦ Λειμῶνος (Κεραμέως Μαυρογορδάτειος βιβλιοθήκη σ. 29).

**104**. *1422-1482*. — † Ἐκοιμήθη ὁ πανιερώτατος ἐπίσκοπος Γραιβενοῦ ὁ κύριος Νεόφυτος καὶ δεύτερος Χρυσόστομος νέος ἐπὶ ἔτους ͵ϛϡλα΄ μηνὶ Δεκεμβρίῳ ϛ΄. Καὶ ἕτερος Νεόφυτος ὁ Βλάχος ͵ϛϡϛ΄.

† Μηνὶ Μαρτίῳ θ΄ ἰνδικτιῶνος ιδ΄ ἡμέρᾳ Σαββάτῳ ἐπαρελαβόθη ἡ μεγαλόπολις Νίκαια παρὰ τῶν Μουσουλμάνων ἔτους ͵ϛωλθ΄.

† Γέγωνεν ἀφανισμὸς Ἐξαμιλίου κατὰ τοῦ ἔτους τοῦ τρέχοντος ͵ϛϡ·ϛ΄ (γρ. ͵ϛϡλϛ΄). Παρελθόντος δὲ τοῦ καιροῦ ἀνάλλωσις Θεσσαλωνίκης καὶ Ἰωαννίνων παράδοσις ἐπὶ ἔτους ͵ϛϡλη΄ καὶ Βιζαντίου Κωνσταντινουπόλεως ἀνάλλωσις ͵ϛϡξα΄ μηνὶ Μαΐῳ κθ΄ ἡμέρᾳ Τρίτῃ.

† Ἐτελεύτησεν ὁ ἀγριώδης λύκος καὶ ἀνῦμερον θηρίον ἀμυρᾶς ὁ Μαχάμετης ἐπὶ ἔτους ͵ϛϡπθ΄. Παρελθόντος δὲ τοῦ ἐνιαυτοῦ ἐκοιμήθη ὁ ὅσιος πατὴρ ἡμῶν Μάξιμος ἀρχιεπίσκοπος τῆς αὐτῆς πόλεως καὶ Νέας Ῥώμης ἤτοι Βιζαντίδος μηνὶ Ἀπριλλίῳ γ΄ ἰνδικτιῶνος ιε΄ ἡμέρᾳ Τετάρτῃ.

Ἀντέγραψ' αὐτὸς ἐκ τοῦ φ. 1926 τοῦ ἐν τῇ βιβλιοθήκῃ τοῦ Βρεττανικοῦ μουσείου κώδικος Additional 22492.

**105**. *1423*. — Ἐκοιμήθη ἡ δούλη τοῦ θεοῦ Θεοδώρα σύζυγος τοῦ ἄρχοντος των μοναστηρίων Μιχαὴλ πρεσβυτέρου τοῦ Συναδηνοῦ ἐν ἔτει ϛ^ω ϡ^ω λ^ω α^ω μηνὶ Ἀπριλλίῳ ιᾱ΄, ἡμέρᾳ Κυριακῇ.

Μονῆς Βλαταίων ἀρ. παλ. 48 φ. 86 (Π. Παπαγεωργίου ἐν Byzantinische Zeitschrift Τόμ. Η΄ σ. 403).

**106**. *1423-1431*. — Κατὰ τὸ ͵ϛϡλα^ον ἔτος, ὑπῆρχεν ὁ Βρυέννιος Ἰωσήφ. Κατὰ τὸ ϛωλθ^ον ἔτος, γέγονεν ἡ ἐν Φλορεντίᾳ σύνοδος. Ὁ κατὰ τοῦ Βέκκου Τόμος τοῦ Κυπρίου Γρηγορίου, ἐγένετο πρὸ τοῦ Βρυεννίου χρόνους ρκε.

Ἐν φ. Αα τοῦ ὑπ' ἀρ. 127 κώδικος τῆς βιβλιοθήκης τῆς Βουλῆς ἐν Ἀθήναις (Νέου Ἑλληνομνήμονος Τόμ. Ε΄ σ. 311).

Ἴδε καὶ ἀνωτέρω ἀρ. 89.

Ε.Υ.Δ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

**106**[a]. *1425.* — Ἴδε ἀνωτέρω ἀρ. 72.

**107**. *1427. 1460. 1462.* — ϡυκζ ἀπὸ Χριστοῦ καὶ ,ϛϡλε μηνὶ ἐπῆραν τὴν Θεσσαλονίκην καὶ τῷ ϛϡξη Μαΐῳ κδ ἦλθεν ὁ αὐθέντης εἰς τὸν Μεζιθρὰν καὶ παρεδώθη ὁ δεσπότης κῦρ Δημήτριος. Τῷ δὲ ϛϡο (ἐν τῇ ὥρᾳ ἀπὸ Χριστοῦ ϡυξδ΄) ἁλώθη ἡ Τραπεζοῦντα.

Ἐκδίδεται ἐνταῦθα τὸ πρῶτον ἐκ τοῦ φ. 56 τοῦ Σιναϊτικοῦ κώδικος 1189 κατ' ἀντίγραφον ἐπὶ διαφανοῦς χάρτου σταλέν μοι τῷ 1899 ὑπὸ τοῦ διδάκτορος κ. Παύλου Gleye.

**107**[a]. *1428.* — Ἴδε ἀνωτέρω ἀρ. 103.

**108**. *1429.* — Ἔτους ,ϛϡλζ [ἰνδικτιῶνος ζ΄] τοῦ ταπεινοῦ ἐπισκόπου Θεογνώστου Μοκοτιν(ίας;) αἰωνία ἡ τούτου μνήμη.

Ἐν τέλει τοῦ ὑπ' ἀρ. 134 κώδικος τῆς ἐν Λέσβῳ μονῆς τοῦ Λειμῶνος (Κεραμέως Μαυρογορδάτειος βιβλιοθήκη σ. 93).

**109** *1430.* — Ἐπὶ ἔτ ,ϛϡλη΄ μ⟨η⟩ν⟨ὶ⟩ Μαρτίῳ εἰς τὰς κθ ἡμ⟨έρ⟩α δ ἐπαρελ⟨α⟩βε εἰσμαηλη΄΄ την μ⟨εγά⟩λ⟨ην⟩ πόλ⟨ιν⟩ Θεσαλωνίκη:

Ἐν φ. 189β τοῦ ὑπ' ἀρ. 59 (III B 7) κώδικος τῆς ἐν Μοδένῃ βιβλιοθήκης (Studi italiani Τόμ. Δ΄ σ. 425).

**110**. *1430.* — † Ἔτος ϛϡλη ἰνδικτιῶνος η μηνὶ Μαρτίῳ κθ ἡμέρᾳ Τετραδι ὥρᾳ τρίτῃ: ἐγένετο ἡ περιβόητος πόλις τῶν Θεσσαλονικαίων δορυάλωτος παρὰ τῶν Μουλσουμάνων ἐπὶ τῆς αὐθεντίας τοῦ Ἀμουράτπεϊ, υιου σουλτάνου τοῦ Κυριτζῆ: Ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβεστάτου βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου καὶ Μαρίας τοῦ μεγάλου Κομνηνοῦ τῆς θυγατρός τοῦ βασιλέως τῆς Τραπεζοῦντος.

Μονῆς Βλαταίων ἀρ. παλ. 48 φ. 86 (Π. Παπαγεωργίου ἐν Byzantinische Zeitschrift Τόμ. Η΄ σ. 403 κ. ἑ.).

**111**. *1431.*

Ἀναφέρεται ἁπλῶς ὡς ὑπάρχον σημείωμα τούτου τοῦ ἔτους ἐν φ. 381α τοῦ κώδικος Ἐσκουριάλου Υ. III. 2 (*Miller* σ. 226?).

**111**[a]. *1431.* — Ἴδε ἀρ. 164.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τηΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**112.** *1431.* — Ἴδε ἀνωτέρω ἀρ. 106.

**113.** *1431. 1437.* — Μηνὶ Σεπτ. ς΄ ἰνδικτιῶνος ι΄. ἐκοιμήθην ὁ ἅγιός μοι αὐθέντης καὶ ἀδελφούτζικος κὺρ Δημήτριος ὁ Λεοντάρης, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς μοναχός. καὶ ἡ εὐχή του ἡ ἁγία με τὰ παιδία μου. καὶ ἡ ψυχή του νὰ τήχη της δόξης τοῦ θεοῦ, ἀμήν. † ἔτει ς^ω ϡ^ω μ^ω.

† Ἐκοιμήθη ὁ υἱὸς αὐτοῦ ὁ ἀνεψιός μου κὺρ Ἰωάννης ὁ Λεοντάρης ἐν τῇ Συληβρίᾳ κατα μήνα Ἰαννουάριον τῇ θ΄ ἰνδικτιῶνος ιε΄ ἔτους ,ς^ωϡ^ωμε καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Προδρόμου ἐν τῇ Συληβρίᾳ.

Ἐν φ. 296α τοῦ κώδικος 265 τῆς ἐν Μακεδονίᾳ μονῆς Κοσινίτζης (Κεραμέως Ἔκθεσις παλαιογρ. ἐρευνῶν σ. 30).

**114.** *1437.* — † Ἐκημήθη ὁ πανιερώτατος μητροπολίτης Ναυπάκτου κῦρις Μαρτύριος ἐπὶ ἔτους ,ςϡμε΄ ἰνδικτιῶνος ιε΄ μηνὶ Φεβρουαρίῳ ιδ΄ ἡμέρᾳ ε΄ καὶ ὥρᾳ ἕκτη τῆς ἡμέρας.

Ἐκοιμήθη δὲ καὶ ὁ τούτου ὑποτακτικὸς καὶ ἡγούμενος τῆς Θεοτόκου τῆς Κορακοννησαίας καὶ πατὴρ ἡμῶν κῦρις Γερόντιος μηνὶ Ἰουλίῳ ἑνδεκάτῃ τοῦ ,ςϡξε΄ ἔτους τῆς νῦν τρεχούσης ἰνδικτιῶνος ι΄ τοῦ ἡλίου κύκλους ἐπεχόντος κα΄ καὶ τῆς σελήνης ἑνδέκατον ἡμέρᾳ β΄, ὥρα ζ΄ ταύτης.

Ἐθνικῆς βιβλιοθήκης Ἀθηνῶν κώδ. 194 φ. 4α (Σακκελίωνος σ. 36, ὅπου ἐν τῇ τελευταίᾳ χρονολογίᾳ ἡ ἰνδικτιὼν ι΄ εἶνε παρανεγνωσμένη ἀντὶ τῆς ὀρθῆς ε΄).

Ἴδε καὶ κατωτέρω ἀρ. 124.

**114α.** *1437.* — Ἴδε ἀνωτέρω σ. 113.

**115.** *1437-1439.*

Ἐνθύμησις περὶ τῆς συνόδου.

